**WHAT SHALL WE DO WITH A DRUNKEN SAILOR.**

**ARLT CENTENARY SUMMER SCHOOL, CHARTERHOUSE, JULY 2011**

## What shall we do with a drunken Sailor

ἤν, ὅδε κραιπαλόκωμος ναύτης...(τρίς)
    νῦν δ' αἴρωμεν πρωί.

ὢοπ, δεῖ γὰρ ἀνέλκειν
ὢοπ, κἀγκρεμάσαι νῦν
ὢοπ, τήνδ' ἄγκυραν·
    νῦν δ' αἴρωμεν πρωί.

φεῦ, τί παθὼν ἂν ἐκεῖνος νήφοι .... κτλ

οἶνος ἀπέστω, σώφρων ἔσται ... κτλ

πρήνης εἰς ἄντλον καταπίπτοι ... κτλ

ὕψι δεθεὶς χειμῶν' ἀνεχέσθω ... κτλ

κόπτ' ἔδαφος, καταποντισθήτω ... κτλ

## Ten Little Boys

δέκα ποτὲ παῖδες περιέπατουν·
εἷς ἐπὶ κεφαλὴν ἔτυχε πεσών.
ἐννέα παῖδες περιέπατουν·
εἷς ἀκαλήφης ἔτυχε θιγών.
Ζεῦ βασιλεῦ, τέρας οἷον ἐφάνθη,
    φεῦ παίδων οἰκτρῶν·
φροῦδος ἀμοιβαδὶς ἄλλοθεν ἄλλος,
    φεῦ παίδων οἰκτρῶν.

ὀκτὼ παῖδες περιέπατουν·
εἷς κύνα μαργὸν ἔτυχε δακών·
ἑπτὰ δὲ παῖδες περιέπατουν·
εἷς ποδὶ νάρκην ἔτυχε βαλών.
Ζεῦ βασιλεῦ.......

ἓξ ἔτι παῖδες περιέπατουν·
εἷς στόμ' ἀνοίξας ἔτυχε χανών·
πέντ' ἔτι παῖδες περιέπατουν·
βάτραχον εἷς τις ἔτυχε φαγών.
Ζεῦ βασιλεῦ......

τέτταρες ἔτι περιέπατουν·
δάκτυλον εἷς τις ἔτυχε τεμών·
τρεῖς ἔτι παῖδες περιέπατουν·
σκορπίον εἷς τις ἔτυχε λαβών.
Ζεῦ βασιλεῦ......

τότε δύο παῖδες περιέπατουν·
φάρμακον εἷς τις ἔτυχε πιών.
εἷς μόνος αὐτὸς περιέπατει·
καὶ τάχ' ἐς Ἅιδου γ' ἔτυχε δραμών.
Ζεῦ βασιλεῦ......

**O Dear, What can the Matter be**

φεῦ φεῦ τί ποτε γέγονε .... (τρίς)
τί ποτε γέγονε δή;

Κέρδων ἔφυγεν ἔφυγε ...(τρίς)
ἔφυγεν ἔφυγε δή.

κλέψας πρόβατα πρόβατα ... (τρίς)
πρόβατα πρόβατα μοι.

ἄξω πατέρα τὸν ἐμόν, ... (τρίς)
ἵνα φυγάδα λάβῃ.

ἄξω στόλον ὁπλόμαχον, ... (τρίς)
ἵνα φυγάδα βάλῃ.

ἄξω κύνα πολύφαγον, ... (τρίς)
ἵνα φυγάδα φάγῃ.

**God Save the King**

ὄρθου ταύτην πολιν,
ὄρθου τὸν κοίρανον,
καὶ τοὺς ἀστούς.
εἰ παύοις, ὦ θεός,
καὶ λοιμὸν καὶ στάσεις
ὡς ὁμόφρονες ὦμεν ἐν
πολεμίων ὁρμῇ.

φθείροις τοὺς βαρβάρους
κἄξω κἄντος πόλεως
προρρίζους δή.
εἴη δ' ἄπραχθ' ὅλως
τὰ σκευωρήματα·
ὡς σὺ μόνος ἐπαρκέσεις
ἡμῖν ἀλκῇ.

**The Lazy Boy (Frère Jaques)**

1 ποῦ 'σθ' ἀδελφός; [δίς] ἐν κλίνῃ [δίς]
διὰ τί καθεύδεις .......... νυστάζων;

2 μή μ' ὀχλήσῃς ............. ῥέγκω γάρ.....
βάλλ' ἐς κόρακας ........... οἰμώξῃ .........

3 φεῦ τοῦ παιδός ............. σίγα δή........
βαρύκοτός ἐστιν ............ ἡ μήτηρ ......

4 οὔ μοι φροντίς ........... τῆς μητρός......
βαρύκοτος ἔστω ........ ἡ μήτηρ.